# ΠΟΙΗΣΗ ΤΟΥ 11ου ΑΙΩΝΑ

## I. Χριστόφορος Μυτιληναῖος (ἐκδ. Kurtz)

Εἰς τὸν Βασίλειον τὸν λεγόμενον Χοιρινόν, πολλάκις αἰτήσαντα ἐκ τῶν συγγραμμάτων αὐτοῦ

Τί πολλὰ γρύζεις τοὺς ἐμοὺς ζητῶν λόγους
καὶ «σαῖς γραφαῖς θρέψον με» συχνῶς μοι λέγεις;
Ἄπελθε πόρρω· χοῖρος οὐ τρώγει μέλι,
ἔχεις βαλάνους δεῖπνον, εἰ βούλει, φίλον·
ἂν οὖν μάλιστα καὶ κερατίων δέῃ,
ἡ σύζυγος πλήσει σε καὶ κερατίων.

## II. Ἰωάννης Μαυρόπους (ἐκδ. de Lagarde)

Εἰς Πλάτωνα καὶ Πλούταρχον

Εἴπερ τινὰς βούλοιο τῶν ἀλλοτρίων
τῆς σῆς ἀπειλῆς ἐξελέσθαι, Χριστέ μου,
Πλάτωνα καὶ Πλούταρχον ἐξέλοιό μοι.
ἄμφω γάρ εἰσι καὶ λόγον καὶ τὸν τρόπον
τοῖς σοῖς νόμοις ἔγγιστα προσπεφυκότες.
εἰ δ’ ἠγνόησαν, ὡς Θεὸς σὺ τῶν ὅλων,
ἐνταῦθα τῆς σῆς χρηστότητος δεῖ μόνον,
δι’ ἣν ἅπαντας δωρεὰν σώζειν θέλεις.

## III. Ψευδο-Μιχαήλ Ψελλός (έκδ. Westerink)

De Ulixis erroribus (π. 92)

Φυγὼν Ὀδυσσεὺς τὸν μαχησμὸν Ἰλίου,
πλῆθος δόλους τε Λωτοφάγων, Κικόνων,
Κύκλωπος δεινὸν ὄμμα τοῦ βροτοκτόνου,
τὴν Λαιστρυγόνων ὠμότητα καὶ Κίρκης
τρόπους ἀδήλους καὶ μεμηχανημένους,
ᾅδην τε φρικτὸν καὶ τῶν Σειρήνων φθόγγον,
πέτρας τε πλαγκτὰς καὶ Χαρύβδεως στόμα,
Σκύλλης τὸ δεινὸν καὶ βίαιον, ὡς ἔφη,
υἱοῦ χεροῖν τέθνηκεν ἐν τῇ πατρίδι.

## IV. Ἄλλα

Στίχοι Ἰακώβου τινὸς μοναχοῦ ἀπὸ τῆς μονῆς τοῦ Συγκέλλου
κατὰ τοῦ Ψελλοῦ

Ὦ δέσποτα Ζεῦ καὶ πάτερ καὶ βακλέα,
ὀβριμοβουγάιε καὶ βαρυβρέμων,
Ὄλυμπον οὐκ ἤνεγκας κἂν βραχῦν χρόνον,
οὐ γὰρ παρῆσαν αἱ θεαί σου, Ζεῦ πάτερ.